UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Item eiusdem, ex quaternione XVI. vbi de Christo loquitur.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ις'. περὶ Χριστοῦ λέγοντος.

Οὗτος ὁ λέγων· θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὗτος ὁ τριήμερον τελευτὴν ὑπομείνας· προσκυνῶ δὲ σὺν τῇ θεότητι τοῦτον, ὡς τῆς θείας συνεργὸν αὐθεντίας. Καὶ μεθ' ἕτερα. Οὐ καθ' ἑαυτὸ θεὸς τὸ πλασθὲν ἀπὸ μήτρας· οὐ καθ' ἑαυτὸ θεὸς τὸ κτισθὲν ἐκ τοῦ πνεύματος· οὐ καθ' ἑαυτὸ θεὸς τὸ * ταφὲν ἐπὶ μνήματος· (* φανὲν) οὕτω γὰρ ἂν ἡμεῖς ἀνθρωπολάτραι, καὶ νεκρολάτραι σαφεῖς. ἀλλ' ἐπειδήπερ ἐν τῷ ληφθέντι θεὸς, ἐκ τοῦ λαβόντος ὁ ληφθεὶς, ὡς τῷ λαβόντι συναφθεὶς, συγχρηματίζει θεός.

*Item eiusdem, ex quaternione* XVI. *vbi de Christo loquitur.*

Hic est qui dicebat: *Deus meus, Deus meus, quare me dereliquisti?* hic est qui triduo mortuus fuit. hunc autem tamquam diuinæ maiestatis cooperatorem vna cum diuinitate adoro. *Et post alia.* Non per se & secundum se Deus est, quod in vtero formatum est: non per se & secundum se Deus est, quod Spiritus sancti opera effectum est: non per se & secundum se Deus est, quod in monumento conditum est: sic enim hominum, mortuorumque manifesti cultores essemus. At vero, quia Deus in homine assumpto existit, assumptus, vt assumenti coniunctus, propter assumentem Deus appellatur. (Matth. 27. v. 46.)

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον γ'. κατὰ αἱρετικῶν, περὶ τοῦ πνεύματος λέγοντος.

Πῶς γὰρ εἴη δοῦλον, φησὶ, τὸ μετὰ πατρὸς καὶ υἱοῦ ἐργαζόμενον; κἂν ζητοίη τις τὰς τοῦ πνεύματος * τάξεις, εὑρήσει τὴν τοῦ πατρὸς καὶ υἱοῦ κατ' οὐδὲν λειπομένας· οὐχ ὡς τῆς μιᾶς μεριζομένης θεότητος, ἀλλὰ τῆς θείας γραφῆς τὰ τῆς μιᾶς ἰσχύος καὶ καθ' ἑκάστην μεριζομένης ὑπόστασιν, εἰς ἀπόδειξιν τοῦ τῆς τριάδος ὁμοίου. (* πράξεις,) καί μοι σκόπει τὸ ὅμοιον, ἐκ τῶν ἐν ἔργοις * καιρῶν * ἀρξάμενος. ὁ θεὸς λόγος ἐγένετο σὰρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. συνεκάθισεν ἑαυτῷ τὴν ἀναληφθεῖσαν ἀνθρωπότητα ὁ πατήρ· εἶπε γὰρ, φησὶν, ὁ κύριος τῷ (* καιρίων * ἴσως, ἀρξάμενος.)



*Item eiusdem, ex quaternione* III. *contra hæreticos, vbi de Spiritu loquitur.*

Quomodo is, inquit, seruus esse queat, qui vna cum Patre & Filio operatur? Quod si quis functiones Spiritus quærat, eas nulla sui parte Patris & Filii inferiores esse comperiet. Non quod vna diuinitas in plures partes diuisa sit, sed quod diuina scriptura ad ostendendam trinitatis æqualitatem ea singulis hypostasibus nonnunquam impertiri soleat, quæ vnius alioqui sunt potentiæ. Hoc verum esse, ex iis operibus spectare licet, quæ in tempore sunt suscepta. Deus Verbum factum est caro, & habitauit in nobis. Humanam porro naturam Ioan. 1.
assumptam Pater sibi consedere Ephes. 2.
fecit. Ait enim: *Dixit Dominus* Psal. 109.